κεκερασμένον γαλήνηι,
τὸ μὲν ἐξ Ἄρηος ἕλκον,
τὸ δὲ τῆς καλῆς Κυθήρης,
ἵνα τις τὸ μὲν φοβῆται,
τὸ δ᾽ ἀπ᾽ ἐλπίδος κρεμᾶται.
ῥοδέην δ᾽ ὁποῖα μῆλον
χνοΐην ποίει παρειήν·
ἐρύθημα δ᾽ ὡς ἂν Αἰδοῦς
δύνασαι βαλεῖν ποίησον.
τὸ δὲ χεῖλος οὐκέτ᾽ οἶδα
τίνι μοι τρόπωι ποιήσεις
ἁπαλόν, γέμον τε Πειθοῦς·
τὸ δὲ πᾶν ὁ κηρὸς αὐτός
ἐχέτω λαλῶν σιωπῆι.
μετὰ δὲ πρόσωπον ἔστω
τὸν Ἀδώνιδος παρελθών
ἐλεφάντινος τράχηλος.
μεταμάζιον δὲ ποίει
διδύμας τε χεῖρας Ἑρμοῦ,
Πολυδεύκεος δὲ μηρούς,
Διονυσίην δὲ νηδύν·
ἁπαλῶν δ᾽ ὕπερθε μηρῶν,
μαλερὸν τὸ πῦρ ἐχόντων,
ἀφελῆ ποίησον αἰδῶ
Παφίην θέλουσαν ἤδη.
φθονερὴν ἔχεις δὲ τέχνην,